2. κανόνες τρεῖς.

1. ἤγουν ἐὰν καθόλου ἀποφάνσεως τὸ ὑποκείμενον ὑπαλλαχθῇ τὸ γενικὸν μόριον, αὕτη γίνεται ἰσοδυναμοῦσα τῇ ἑαυτῆς ἐναντιωτικῇ.
2. ἤγουν ἐὰν ἀποφάνσεως τὸ ὑποκείμενον μεταλλαχθῇ τὸ γενικὸν μόριον, αὕτη γίνεται ἰσοδυναμοῦσα τῇ ἑαυτῆς ἀντιφατικῇ.
3. ἤγουν ἐὰν ἀποφάνσεως τὸ ὑποκείμενον μεταλλαχθῇ καὶ ὑπαλλαχθῇ τὸ γενικὸν μόριον, αὕτη ἰσοδυναμοῦσα γίνεται τῇ αὐτῆς ὑπαλλήλῳ. ὑπάλληλοι δὲ καλοῦνται αἱ ἔχουσαι ποιότητα, τὴν δὲ ποσότητα διάφορον.

3. ἡ ἀντιστροφή. περὶ ἧς ἑξῆς λελέξεται.

---

## τὸ ζ΄ κεφ.

## περὶ ἀντιστροφῆς τρία

1. τί ἐστιν. ὅτι ἀντιστροφή ἐστιν ὅταν ἐκ τοῦ ὑποκειμένου τινὸς ἀποφάνσεως γίνηται κατηγορούμενον, καὶ ἐκ τοῦ κατηγορουμένου ὑποκείμενον, σωζομένης τῆς ἀληθείας.

2. ποσαχῶς. ὅτι διχῶς

ἡ μὲν ἁπλῆ, περὶ ἧς θεωρεῖται δύο

1. τί ἐστιν. ὅτι ἁπλῆ ἀντιστροφή ἐστιν, ὅταν ἁπλῶς, ὃ πρότερον ὑπέκειτο, κατηγορεῖται, ὃ κατηγορεῖτο ὑπόκειται, σωζομένης καὶ τῆς ποιότητος, καὶ τῆς ποσότητος.
2. ποῖαι ἀποφάνσεις ἀντιστρέφουσιν ἁπλῶς.
   1. ἡ καθόλου ἀποφατική. οἷον οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος. οὐδεὶς λίθος ἐστὶν ἄνθρωπος.
   2. ἡ μερικὴ καταφατική. οἷον τινὰ ἁμαρτήματα εἰσὶν ἑκούσια. τινὰ ἑκούσια εἰσὶν ἁμαρτήματα.

ἡ δὲ κατὰ συμβεβηκός. περὶ ἧς θεωρεῖται δύο

1. τί ἐστιν. ὅτι ἀντιστροφὴ κατὰ συμβεβηκός ἐστιν, ὅταν σωζομένης τῆς ποιότητος, τῆς δὲ ποσότητος ἀλλαττομένης ἡ ἀπόφανσις ἀντιστρέφῃ.

http://digital.slub-dresden.de/ppn347224571/24